# 28 IULIE

# PARACLISUL SF.CUVIOS PAVEL DE LA XIROPOTAMU-ATHOS

## PARACLISIER-GR

www.tezaurliturgic.ro



# ΙΟΥΛΙΟΣ ΚΗ΄
# ΠΑΥΛΟΣ ΟΣΙΟΣ ΞΗΡΟΠΟΤΑΜΙΝΟΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

*(Γερασίμου μοναχοῦ Μικραγιαννανίτου)*

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*
Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καὶ εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*
Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*
Τῆς οὐρανίου Βασιλείας οἰκήτωρ, τῇ ἰσαγγέλῳ πολιτείᾳ ἐδείχθης, ὡς τοῦ Χριστοῦ θεράπων Παῦλε Ὅσιε· ὅθεν ἀεὶ πρέσβευε, τῷ Δεσπότῃ τῶν ὅλων, πάσης ἡμᾶς ῥύεσθαι, ἀπειλῆς καὶ ἀνάγκης, καὶ τῆς μελλούσης δόξης μετασχεῖν, τοὺς προσιόντας, πιστῶς τῇ πρεσβείᾳ σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Σῶζε, ὦ Παῦλε, τήνε Μονήν σου. Γερασίμου.*

### *ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Σοφείας δοχεῖον περιφανές, Παῦλε θεοφόρε, τῶν τοῦ πλάνου σοφιστειῶν, ταῖς σαῖς πρὸς τὸν Κτίστην ἱκεσίαις, τὰς διανοίας ἡμῶν θᾶττον λύτρωσαι.

Ὡς τεῖχος καὶ φύλαξ καὶ ὁδηγός, ταύτης σου τῆς ποίμνης, καθοδήγει αὐτὴν καλῶς, Παῦλε θεοφόρε πρὸς τὴν τρίβον, τῶν ένταλμάτων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Ζωῆς έναρέτου ὑφηγητά, πρὸς ἔνθεον βίον, καὶ πρὸς κτῆσιν τῶν άρετῶν, διέγειρον Παῦλε τὰς καρδίας, τῶν άσκούμενων έν ταύτῃ τῇ Μάνδρᾳ σου.

*Θεοτοκίον.*

Έτέχθη Παρθένε ὑπερφυῶς, έκ τῶν Σῶν αἱμάτων, ὁ τῶν ὅλων Δημιουργός, μορφῇ τῇ βροτείᾳ κόσμον σώζων, ὁ καὶ τὸν Παῦλον δοξάσας τὸν Ὅσιον.

### *ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ὡς φωτὸς θείου πλήρης Παῦλε ἡμῶν στήριγμα, ταῖς φωτιστικαῖς σου πρεσβείαις, ἡμῶν καταύγασον, νοῦν καὶ διάνοιαν, ὡς ἂν τοῦ σκότους τὰ ἔργα, τάχος άποκλίνωμεν, φόβῳ τῷ κρείττονι.

Παθημάτων ποικίλων καὶ συνοχῆς χείρονος, καὶ έπιβουλῆς όλεθρίας, τοῦ πολεμήτορος, ἡμᾶς άπάλλαξον, τοὺς σὲ προστάτην πλουτοῦντας, καὶ μεσίτην μέγιστον, Παῦλε πρὸς Κύριον.

Άπαθείας τὰ ἄνθη, διὰ ζωῆς κρείττονος, ταύτην γεωργεῖν σου τὴν ποίμνην, Παῦλε ένίσχυσον, καὶ

ἀποτρέπεσθαι, τὰς συστροφὰς τῶν σκανδάλων, δι’ ὧν ὑπεισέρχεται, ἐχθρὸς ὁ δόλιος.

*Θεοτοκίον.*

Ὑπὲρ φύσιν τεκοῦσα μετὰ σαρκὸς ἄχραντε, τὸν ἐκ τοῦ μὴ ὄντος τὰ πάντα, δημιουργήσαντα, Αὐτὸν ἱκέτευε, τοῦτον τὸν κλῆρόν Σου Κόρη, ἄτρωτον φυλάττεσθαι, ἐκ πάσης θλίψεως.

Διάσωσον, ταῖς πρὸς Θεόν Σου πρεσβείαις Ὅσιε Παῦλε, ἀπὸ πάσης ἐπιφορᾶς καὶ κακώσεως, τοὺς καταφεύγοντας Πάτερ τῇ σῇ πρεσβείᾳ.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Πρεσβείαν τὴν σὴν ὡς τεῖχος ἀπροσμάχητον, πλουτοῦντες σοφέ, ἐκ πάσης ἐπιθέσεως, τοῦ ἐχθροῦ ῥυόμεθα, καὶ μυρίων καλῶν ἀξιούμεθα· σὺ γὰρ Παῦλε ἡμῶν κηδεμών, καὶ θεῖος ποιμὴν καὶ μέγας ἔφορος.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Λαμπρυνόμενος Ὅσιε, ταῖς θεαρχικαῖς καὶ θείαις ἐλλάμψεσι, πρὸς τὸ φῶς τῶν θείων πράξεων, καθοδήγει πάντοτε τὰ τέκνα σου.

Ἐναρέτως ἐνίσχυσον, Παῦλε πολιτεύεσθαι σεμνοῖς ἤθεσιν, ὁμονοίᾳ καὶ χρηστότητι, τοὺς σὲ κεκτημένους θεῖον πρότυπον.

Τὴν Μονὴν ταύτην Ὅσιε, ἣν ἱδρῶσι πλείστοις ἀνῳκοδόμησας, περιτείχισον πρεσβείαις σου, ἐξ ἐπηρειῶν τοῦ πολεμήτορος.

*Θεοτοκίον.*

Ἡ Σὴ χάρις ἐκλάμπουσα, Κόρη ἐν τῷ Ἄθῳ ὑπὲρ τὸν ἥλιον, διαλύει τὰ βουλεύματα, καθ’ ἡμῶν τοῦ σκότους τὰ ὀλέθρια.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Νέκρωσον ἡμῶν, τῆς σαρκὸς Παῦλε τὸ φρόνημα, καὶ καταύγασον τὸν νοῦν φόβῳ Θεοῦ, τοῦ φαντάζεσθαι Χριστοῦ κάλλος τὸ ἄῤῥητον.

Δόξης ἀληθοῦς, Πάτερ Παῦλε ὢν συμμέτοχος, ἀδοξίας ἀπολύτρωσαι παθῶν, τοὺς ἐν πίστει προσιόντας τῇ πρεσβείᾳ σου.

Ἔχει σε θερμόν, ἡ Μονή σου αὕτη Ἅγιε, ἀντιλήπτορα καὶ θεῖον ὁδηγόν· διὸ πίστει καταφεύγει τῇ πρεσβείᾳ σου.

*Θεοτοκίον.*

Μῆτερ τοῦ Θεοῦ, Θεοτόκε ἀειπάρθενε, τῷ φωτὶ τῶν μητρικῶν Σου πρεσβειῶν, διασκέδασον καρδίας μου τὴν σκότωσιν

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ὁ θεῖος, καὶ οὐρανόφωτος στῦλος, τῆς τοῦ Πνεύματος λαμπρᾶς φωταυγείας, θεομακάριστε Ὅσιε Παῦλε, πρὸς οὐρανὸν τὰς ψυχὰς ἡμῶν πτέρωσον, καὶ ἀμαυρώσεως παθῶν, ἀπολύτρωσαι Πάτερ τὰ τέκνα σου.

Ναμάτων, τῶν θεϊκῶν πεπλησμένος, ἀφθαρσίας τὸ ζωήῤῥυτον ὕδωρ, καὶ ἀπαθείας τὸ ἥδιστον πόμα, ταῖς ἐπομβρίαις τῶν σῶν παρακλήσεων, βλῦσον ἐκ θείων θησαυρῶν, τοῖς ποθοῦσί σε τέκνοις σου Ὅσιε.

Ἡ ποίμνη, νῦν τὸν καλόν σε ποιμένα, ἀνυμνοῦσα ἐκ καρδίας κραυγάζει· ἐπὶ νομάς, ἀρετῶν οὐρανίων, καὶ πρὸς λειμῶνας ἠθῶν καθαρότητος, ὁδήγει Παῦλε νοερῶς, τῶν πιστῶν φοιτητῶν σου τὸν σύλλογον.

*Θεοτοκίον.*

Ναόν Σε, καὶ καθαρώτατον οἶκον, καὶ παλάτιον περίδοξον Κόρη, τοῦ Βασιλέως τῆς δόξης εἰδότες, οἱ σεσωσμένοι τῷ τόκῳ Σου ἄχραντε, βοῶμέν Σοι εἰλικρινῶς· θείου σκεύη φωτὸς ἡμᾶς ἔργασαι.

Διάσωσον, ταῖς πρὸς Θεόν Σου πρεσβείαις Ὅσιε Παῦλε, ἀπὸ πάσης ἐπιφορᾶς καὶ κακώσεως, τοὺς καταφεύγοντας Πάτερ τῇ σῇ πρεσβείᾳ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Τῇ ἡγεσίᾳ σου Παῦλε καυχώμενοι, τῇ ἀρωγῇ σου προστρέχομεν κράζοντες· Μὴ παύσῃ τηρεῖν ἀστασίαστον, μεθοδειῶν καὶ σκανδάλων τοῦ ὄφεως, τὴν ποίμνην σου ταύτην δεόμεθα.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*
Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κᾀγὼ ἀναπαύσω ἡμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ’ ὑμᾶς, καὶ μάθετε ἀπ’ ἐμοῦ, ὅτι πρᾷος εἰμί, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐστί.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*
Παῦλε παμμακάριστε, τῶν ἐν τῷ Ἄθῳ Ὁσίων, ἱερὸν ἀγλάϊσμα, καὶ ἀνάκτων βλάστημα καὶ καλλώπισμα,

τὰς φωνὰς πρόσδεξαι, τὰς ἱκετηρίους, ἃς ἐν πίστει σοι προσάγομεν, Πάτερ τὰ τέκνα σου, τῇ σεπτῇ καὶ θείᾳ εἰκόνι σου, πανευλαβῶς ἱστάμενοι, καὶ ἀπὸ ψυχῆς ἐκβοῶντές σοι· πάσης ἐπηρείας, καὶ πάσης προσβολῆς τοῦ δυσμενοῦς, ἡμᾶς ἀτρώτους διάσωζε, τῇ ἐπιστασίᾳ σου.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας..*

Σωτηρίας πρὸς ὅρμον ἐκ παθῶν τρικυμίας ἡμᾶς κυβέρνησον, ὁμόνοιαν εἰρήνην, καὶ σταθερὰν ἀγάπην, παρεχόμενος πάντοτε, Παῦλε Ὁσίων ἀστήρ, ἡμῖν τοῖς σοῖς τεκνίοις.

Ὀμβροφόρος νεφέλη ἡ σεπτή σου πρεσβεία γένοιτο Ὅσιε, ὡς δρόσον οὐρανίαν, καὶ νέκταρ ἀμβροσίας, μυστικῶς ὑετίζουσα, Παῦλε Πατέρων φωστήρ, ἡμῖν τὰς θείας δόσεις.

Ὑπεράνω τῆς ὕλης ἐν τῷ φόβῳ Κυρίου ἡμᾶς ἀνύψωσον, ἀεὶ φρονεῖν τὰ ἄνω, καὶ τούτων ὁλοτρόπως, θεοφόρε ἐφίεσθαι, δι᾽ ἐναρέτου ζωῆς, καὶ πάσης ἐγκρατείας.

*Θεοτοκίον.*

Γεωργίᾳ Παρθένε τῶν θεσμῶν πρεσβειῶν Σου πρὸς τὸν φιλάνθρωπον, παθῶν μου τὰς ἀκάνθας, ἀνάσπασον εἰς τέλος, καὶ βοῶντά με λάμπρυνον· χαῖρε ἡμῶν προσφυγή, ἁγνὴ Θεογεννῆτορ.

### *ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἔπιδε Πάτερ, ὡς συμπαθὴς οὐρανόθεν, καὶ εὐλόγησον τὰ τέκνα σου ἑστῶτα, πρὸ τῆς σῆς εἰκόνος, ἐν εὐλαβείᾳ Πάτερ.

Ῥάβδῳ ἁγίᾳ, τῶν πρεσβειῶν σου παμμάκαρ, κατασύντριψον τὸν κατὰ τῆς σῆς ποίμνης, ἐσαεὶ ὁρμῶντα, ἐχθρὸν τὸν παλαμναῖον.

Ἄνωθεν Πάτερ, σκέπε ἡμᾶς πάσης βλάβης, φόβον ἔνθεον καὶ πᾶσαν προθυμίαν, πρὸς τὰς ἐπιδόσεις, τῆς ἀρετῆς παρέχων.

### *Θεοτοκίον.*

Σκέπασον Κόρη, ἐκ τῶν βελῶν τοῦ βελίαρ, τοὺς προσπίπτοντας τῇ κραταιᾷ Σου σκέπῃ, ἄφεσιν πταισμάτων, ἡμῖν ἐξαιτουμένη.

### *ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἰδοὺ Παῦλε παμμάκαρ, αὕτη σου ἡ ποίμνη, συναρθροισθεῖσα προσπίπτει τῇ σκέπῃ σου· ὅθεν ἡμῖν ἀεὶ δίδου τὴν εὐλογίαν σου.

Μὴ παύσῃ μνημονεύων, ἡμῶν Ὅσιε Παῦλε, τῶν πεποιθότων ταῖς σαῖς ἀντιλήψεσιν, ἵνα ῥυώμεθα πόνων πικρῶν καὶ θλίψεων.

Ὁδήγει πρὸς τὰς τρίβους τὰς σωτηριώδεις, τοὺς φοιτητάς σου ἀεὶ Παῦλε Ὅσιε, ἵνα ζωὴν τὴν ἀγήρω κληρονομήσωμεν.

*Θεοτοκίον.*

Ὑπέρτερον τὸν νοῦν μου, δεῖξον Θεοτόκε, φθοροποιῶν έννοιῶν τῇ Σῇ χάριτι, καὶ πλῆσον τοῦτον Παρθένε θείας ἐλλάμψεως.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῶν ἐν Ἄθῳ θεῖος ἀστήρ, Παῦλε θεοφόρε, βασιλέων ἡ καλλονή· χαίροις ἐγκρατείας, ὁ θεῖος ὑποφήτης, καὶ ἀρετῶν ὁσίων, ἔμψυχον ὄργανον.

Δόξας βασιλείους καταλιπών, ἐν πάσῃ πτωχείᾳ, ἠκολούθησας τῷ Χριστῷ, καὶ στεῤῥᾷ ἀσκήσει, κατεπλουτίσθης Παῦλε, χαρίσμασι τοῖς θείοις, Ἁγίῳ Πνεύματι.

Ἔλαμψας ἐν Ἄθῳ περιφανῶς, ἰσαγγέλῳ βίῳ, ἀρνησάμενος σεαυτόν, καὶ τῆς ἀπαθείας, σκεῦος λαμπρὸν ἐδείχθης, ὦ Παῦλε θεοφόρε, Ἀγγέλων σύσκηνε.

Τύπος ἐναρέτου βίου ὀφθείς, φοιτητῶν ὁσίων, συναγείρεις σεμνὸν χορόν, Παῦλε θεοφόρε, καὶ τούτους κατευθύνεις, ἐν λόγῳ τε καὶ ἔργῳ, πρὸς βίον κρείττονα.

Ὡς μονὴ καὶ οἶκος θεοειδής, Τριάδος τῆς θείας, διὰ βίου ἀγγελικοῦ, Μονὰς δύο Παῦλε, οἰκοδομεῖς ἐν Ἄθῳ, αἷς δίδου οὐρανόθεν, τὴν εὐλογίαν σου.
Σκέπε ἀπὸ πάσης ἐπιβουλῆς, ταύτην τὴν Μονήν σου, ἐν εἰρήνῃ διατηρῶν, καὶ ἐν μετανοίᾳ, ὦ Παῦλε τὰ σὰ τέκνα, μετὰ τοῦ Γεωργίου, τοῦ Χριστομάρτυρος.
Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β᾽. Ὅτε ἐκ τοῦ ξύλου.*

Παῦλε, τῶν ἐν Ἄθῳ καλλονή, βίου χαρακτὴρ ἐναρέτου, καὶ ὑποτύπωσις, πάσης ἀπολύτρωσαι, ὀργῆς καὶ θλίψεως, τοὺς τῇ θείᾳ εἰκόνι σου, προσπίπτοντας Πάτερ, ταύτῃ δὲ τῇ Μάνδρᾳ σου, δίδου ἑκάστοτε, χάριν, καὶ εἰρήνην καὶ πᾶσαν, τῆς σῆς πατρικῆς εὐλογίας, δόσιν καὶ χρηστότητα δεόμεθα.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*